# Η ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ

παῦλος δέσμιος χριστοῦ ἰησοῦ καὶ τιμόθεος ὁ ἀδελφὸς φιλήμονι τῷ **1**
ἀγαπητῷ καὶ συνεργῷ ἡμῶν. καὶ ἀπφίᾳ τῇ ἀγαπητῇ καὶ ἀρχίππῳ 2*
τῷ συστρατιώτῃ ἡμῶν καὶ τῇ κατ' οἶκόν σου ἐκκλησίᾳ. χάρις ὑμῖν καὶ 3
εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου ἰησοῦ χριστοῦ. εὐχαριστῶ 4
τῷ θεῷ μου πάντοτε μνείαν σου ποιούμενος ἐπὶ τῶν προσευχῶν μου.
ἀκούων σου τὴν ἀγάπην καὶ τὴν πίστιν ἣν ἔχεις πρὸς τὸν κύριον ἰη- 5
σοῦν καὶ εἰς πάντας τοὺς ἁγίους. ὅπως ἡ κοινωνία τῆς πίστεώς σου 6*
ἐνεργὴς γένηται ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν ὑμῖν εἰς χριστόν
ἰησοῦν. χάριν γὰρ ἔχομεν πολλὴν καὶ παράκλησιν ἐπὶ τῇ ἀγάπῃ σου 7*
ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται διὰ σοῦ ἀδελφέ. διό πολλὴν 8
ἐν χριστῷ παρρησίαν ἔχων ἐπιτάσσειν σοι τὸ ἀνῆκον. διὰ τὴν ἀγάπην 9*
μᾶλλον παρακαλῶ τοιοῦτος ὢν ὡς παῦλος πρεσβύτης νυνὶ δὲ καὶ δέ-
σμιος ἰησοῦ χριστοῦ. παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου ὃν ἐγέννησα 10*
ἐν τοῖς δεσμοῖς μου ὀνήσιμον. τόν ποτέ σοι ἄχρηστον νυνὶ δὲ σοὶ καὶ 11*
ἐμοὶ εὔχρηστον. ὃν ἀνέπεμψά συ δὲ αὐτόν τοῦτ᾽ ἔστιν τὰ ἐμὰ σπλάγχνα 12
πρὸσλαβοῦ. ὃν ἐγὼ ἐβουλόμην πρὸς ἐμαυτὸν κατέχειν ἵνα ὑπὲρ σοῦ 13*
διακονῇ μοι ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου. χωρὶς δὲ τῆς σῆς γνώμης 14
οὐδὲν ἠθέλησα ποιῆσαι ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν σου ᾖ ἀλλὰ
κατὰ ἑκούσιον. τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν ἵνα αἰώνιον 15
αὐτὸν ἀπέχῃς. οὐκέτι ὡς δοῦλον ἀλλ' ὑπὲρ δοῦλον ἀδελφὸν ἀγαπητόν 16
μάλιστα ἐμοί πόσῳ δὲ μᾶλλον σοὶ καὶ ἐν σαρκὶ καὶ ἐν κυρίῳ. εἰ οὖν ἐμέ 17*
ἔχεις κοινωνόν προσλαβοῦ αὐτὸν ὡς ἐμέ. εἰ δέ τι ἠδίκησέν σε ἢ ὀφείλει 18*
τοῦτο ἐμοὶ ἐλλόγει. ἐγὼ παῦλος ἔγραψα τῇ ἐμῇ χειρί ἐγὼ ἀποτίσω ἵνα 19
μὴ λέγω σοι ὅτι καὶ σεαυτόν μοι προσοφείλεις. ναί ἀδελφέ ἐγώ σου 20*

**1** **v.2** και απφια τη αδελφη$^{\mathcal{V}}$ αγαπητη$^{\mathcal{T},\mathfrak{M},\mathcal{K}}$ και αρχιππω τω συστρατιωτη ημων και τη κατ οικον σου εκκλησια. **v.6** οπως η κοινωνια της πιστεως σου ενεργης γενηται εν επιγνωσει παντος αγαθου του εν ημιν$^{\mathfrak{M},\mathcal{V}}$ υμιν$^{\mathcal{T},\mathcal{K}}$ εις χριστον ιησουν$^{\mathcal{T},\mathfrak{M},\mathcal{K}}$. **v.7** χαραν$^{\mathcal{K},\mathcal{V}}$ χαριν$^{\mathcal{T},\mathfrak{M}}$ γαρ εχομεν$^{\mathcal{T},\mathfrak{M},\mathcal{K}}$ πολλην εσχον$^{\mathcal{V}}$ και παρακλησιν επι τη αγαπη σου οτι τα σπλαγχνα των αγιων αναπεπαυται δια σου αδελφε. **v.9** δια την αγαπην μαλλον παρακαλω τοιουτος ων ως παυλος πρεσβυτης νυνι δε και δεσμιος ιησου$^{\mathcal{T},\mathfrak{M},\mathcal{K}}$ χριστου ιησου$^{\mathcal{V}}$. **v.10** παρακαλω σε περι του εμου τεκνου ον εγεννησα εν τοις δεσμοις μου$^{\mathcal{T},\mathfrak{M},\mathcal{K}}$ ονησιμον. **v.11** τον ποτε σοι αχρηστον νυνι δε [και]$^{\mathcal{V}}$ σοι και εμοι ευχρηστον. **v.13** ον εγω εβουλομην προς εμαυτον κατεχειν ινα υπερ σου διακονη$^{\mathcal{T},\mathfrak{M},\mathcal{K}}$ μοι διακονη$^{\mathcal{V}}$ εν τοις δεσμοις του ευαγγελιου. **v.17** ει ουν με$^{\mathfrak{M},\mathcal{V}}$ εμε$^{\mathcal{T},\mathcal{K}}$ εχεις κοινωνον προσλαβου αυτον ως εμε. **v.18** ει δε τι ηδικησεν σε η οφειλει τουτο εμοι ελογγα$^{\mathcal{V}}$ ελλογει$^{\mathcal{T},\mathfrak{M},\mathcal{K}}$. **v.20** ναι αδελφε εγω σου οναιμην εν κυριω αναπαυσον μου τα σπλαγχνα εν χριστω$^{\mathcal{V}}$ κυριω$^{\mathcal{T},\mathfrak{M},\mathcal{K}}$.

21* ὀναίμην ἐν κυρίῳ ἀνάπαυσόν μου τὰ σπλάγχνα ἐν κυρίῳ. πεποιθὼς
22 τῇ ὑπακοῇ σου ἔγραψά σοι εἰδὼς ὅτι καὶ ὑπὲρ ὃ λέγω ποιήσεις. ἅμα
δὲ καὶ ἑτοίμαζέ μοι ξενίαν ἐλπίζω γὰρ ὅτι διὰ τῶν προσευχῶν ὑμῶν χα-
23* ρισθήσομαι ὑμῖν. ἀσπάζονταί σε ἐπαφρᾶς ὁ συναιχμάλωτός μου ἐν
24, 25* χριστῷ ἰησοῦ. μᾶρκος ἀρίσταρχος δημᾶς λουκᾶς οἱ συνεργοί μου. ἡ
χάρις τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν ἀμήν
πρός φιλήμονα ἐγράφη ἀπό ῥώμης διά ὀνησίμου οἰκέτου.

**v.21** πεποιθως τη υπακοη σου εγραψα σοι ειδως οτι και υπερ α$^{\mathcal{V}}$ ο$^{\mathcal{T},\mathfrak{M},\mathcal{K}}$ λεγω ποιησεις. **v.23** ασπαζεται$^{\mathcal{V}}$ ασπαζονται$^{\mathcal{T},\mathfrak{M},\mathcal{K}}$ σε επαφρας ο συναιχμαλωτος μου εν χριστω ιησου. **v.25** η χαρις του κυριου ημων$^{\mathcal{T},\mathfrak{M},\mathcal{K}}$ ιησου χριστου μετα του πνευματος υμων αμην$^{\mathcal{T},\mathfrak{M},\mathcal{K}}$.